# 21 IANUARIE
# GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.MUCENIŢE AGNIA DE LA ROMA



## MINEIUL PE IANUARIE-GR


SAINT AGNES
OF ROME

# 21 Ἰανουαρίου
# Ἀκολουθία
# Τῆς Ἁγίας
# Παρθενομάρτυρος Ἁγνῆς

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν,τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Παρθένος καὶ Μάρτυς ἀψευδής, τοῦ Σωτῆρος γέγονας, ὑπὲρ αὐτοῦ ἀριστεύσασα, Ἁγνὴ θεόνυμφε, καὶ διπλῶν στεφάνων, παρ'αὐτοῦ ἠξίωσαι,καὶ δήμοις Ἀθληφόρων συντέταξαι, μεθ'ὧν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἐκ ῥίζης Ἁγνὴ περιφανοῦς, ὥσπερ ἄνθος εὔοσμον, ὡς ἀληθῶς ἀνεβλάστησας, καὶ προσενήνοχας, τῆς σῆς παρθενίας, Χριστῷ τῷ νυμφίῳ σου, ὀσμὴν Παρθενομάρτυς τὴν ἄϋλον, οὗπερ τῷ ἔρωτι, ἐναθλήσασα εἰσέδραμες, εἰς νυμφῶνα Μάρτυς τὸν οὐράνιον.

Τὴν πίστιν κηρύττουσα Χριστοῦ καὶ βίον κατάλληλον, ἐπαγομένη θεόληπτε, πολλοὺς προσήγαγες,τῷ φωτὶ Κυρίου, Ἁγνὴ καλλιπάρθενε, καὶ ᾔσχυνας τυράννων τὴν ἔνστασιν,στερρῷ φρονήματι· διὰ τοῦτο εὐφημοῦμέν σε, ὡς παρθένον, καὶ Μάρτυρα ἔνδοξον.

Τὸ πῦρ τῆς ἀγάπης τοῦ Χριστοῦ, ἐν καρδίᾳ φέρουσα, οὐκ ἐδειλίασας πάνσεμνε, πῦρ τὸ ὁμόδουλον, ἀλλ' ἀνδρείᾳ γνώμῃ, ἐν αὐτῷ εἰσέδραμες, καὶ ἤνεγκας στερρῶς τὴν κατάφλεξιν, Ἁγνὴ πανεύφημε· διὰ τοῦτο ἀνελήλυθας,πρὸς τὴν δόξαν Χριστοῦ τὴν ὑπέρφωτον.

Ὡς θῦμα καὶ θεία προσφορά, καὶ θυσία ἄμωμος, καὶ λογικὴ προσενήνεξαι, Χριστῷ πανεύφημε, καὶ ὑπενεγκοῦσα, Ἁγνὴ καλλιπάρθενε, πυρὸς τὴν δριμυτάτην κατάφλεξιν, καθάπερ ἄσαρκος· διὰ τοῦτο οὐρανίων σε, ὁ Δεσπότης θαλάμων ἠξίωσε.

Ὡς Μάρτυς καὶ νύμφη εὐκλεής, τοῦ Σωτῆρος πάνσεμνε,αὐτοῦ δρῶσα τὸ ἄχραντον,κάλλος θεόνυμφε,καὶ τῆς ὑπὲρ λόγον, δόξης ἀπολαύουσα, ἱκέτευε ἀπαύστως δεόμεθα, διδόναι ἅπασι, τοῖς γεραίρουσι τὴν μνήμην σου, παθῶν λύσιν, καὶ πταισμάτων ἄφεσιν.

## Δόξα. Ἦχος β.'

Πεποικιλμένη τῶν ἀρετῶν ταῖς ἰδέαις, τῆς εὐσεβείας ἐκφαίνεις τὴν ἰσχύν, ἐν τῇ στερρᾷ ἀθλήσει σου, Παρθενομάρτυς Ἁγνὴ πανθαύμαστε· Χριστῷ γὰρ νυμφευθεῖσα, οὐκ ἔπτηξας τυράννων τὰς ἀπειλάς, ἀλλ' ἀπτοήτῳ φρονήματι, ὑπέστης τήν τοῦ πυρὸς κατάφλεξιν,καὶ τῆς ἀπάτης τὴν ἄκανθαν,τῷ πυρὶ τῷ θείῳ κατέφλεξας. Διὸ ἐν τῷ νυμφῶνι τῆς ἄνω δόξης χορεύουσα, ἀδιαλείπτως πρέσβευε, τῷ σῷ νυμφίῳ Χριστῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## Καὶ νῦν. Ὁ αὐτός.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες,καὶ παρθένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμων.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

## Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα
## (Κεφ. ΜΓ' 9-14)

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς

ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. γ', 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν

χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. γ.' 15.)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει

θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ ΙΔΙΟΝΕΛΑ .

### Ἦχος α΄ .

Τῆς παρθενίας τὴν χλαῖναν λαμπροτέραν ἔδειξας, ἐν τῇ στερροτάτῃ ἀθλήσει σου, Ἁγνὴ καλλιπάρθενε· τοῦ γὰρ Σωτῆρος τὸ ὄνομα κηρύξασα,τὴν ἀπάτην ἤλεγξας, ἐνθέῳ στόματι καὶ ἐν τῇ θείᾳ ἀγάπῃ, τοὺς θεσμοὺς ὑπερέβης τῆς φύσεως, ὑπὲρ φύσιν ἀγωνισαμένη, ἀνδρειοτάτῃ καρδίᾳ· καὶ νῦν τῶν μακαρίων ἐπάθλων ἀξιουμένη, πρέσβευε ὑπὲρ τῶν τιμώντων σε.

### Ὁ αὐτός.

Τῶν γηΐνων ὑπεραρθεῖσα, οὐρανίῳ ἔρωτι,τοῦ σοῦ νυμφίου τοῖς

ἴχνεσι πεπόρευσαι, ἀνενδότῳ γνώμῃ καὶ γυναικείαν ἀπορρίψασα ἀσθένειαν, ἀνδρείως ὑπῆλθες τοῦ μαρτυρίου τὸ στάδιον, Ἁγνὴ Ἀθληφόρε μακαρία· ὁλικῶς γὰρ ἀνετέθης τῷ Σωτῆρι, τῷ σὲ ἐν ἄθλοις ἐνισχύσαντι,καὶ παρέχοντι διὰ σοῦ ἡμῖν τὸ μέγα ἔλεος·

Ὥσπερ ἄνθραξ νοητός, τῆς εὐσεβείας τὸ πῦρ περιφέρουσα, ἐπεγνώσθης ἀληθῶς, Ἁγνὴ καλλιπάρθενε · καὶ τῇ αἴγλῃ τῶν λόγων σου, τοῦ τρισηλίου φωτὸς τὰς ἀκτῖνας ἀπήστραψας,τῇ δὲ φλογὶ τῶν ἄθλων τῆς δυσσεβείας τὴν ὕλην ἐνέπρησας, ἀνδρικῶς ὑποστᾶσα, τοῦ ὑλικοῦ πυρὸς τὴν κατάφλεξιν· καὶ ὡς ἱερεῖον ἄμωμον,προσαχθεῖσα Χριστῷ, ὑπὲρ ἡμῶν ἱκέτευε Μάρτυς, τῶν ἐκ πόθου τιμώντων σε.

Δόξα. Ἦχος δ.'

Τῇ φερωνύμῳ σου κλήσει,τὸν τῆς ψυχῆς θησαυρὸν ἐκφαίνεις, καὶ τῆς ζωῆς τὴν καθαρότητα,καλλιπάρθενε Ἁγνὴ μακαρία· ἔνθεν τῷ Χριστῷ νυμφευθεῖσα, ἀκορέστῳ πόθῳ, ὡς θυσία λογική, καὶ προσφορὰ τελεία,αὐτῷ προσενήνεξαι,ἐν πυρὶ τὸν ἀγῶνα τελέσασα· καὶ νῦν ἐν τῷ ἀφθάρτῳ νυμφῶνι,σὺν ταῖς φρονίμοις παρθένοις χορεύουσα πρέσβευε δεόμεθα,ὑπὲρ τῶν ψυχῶν ἡμων.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων....

# ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ ΣΤΙΧΗΡΑ ΠΡΟΣΟΜΟΙΑ

Ἦχος δ' Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς παρθένος ἀκήρατος,κοσμικὴν περιφάνειαν,νουνεχῶς ἀπέρριψας θείῳ ἔρωτι,καὶ σεαυτὴν καλλιέρημα, καὶ θῦμα εὐπρόσδεκτον, προσενήνοχας Χριστῷ,τῇ ἀνδρείᾳ ἀθλήσει σου, Ἁγνὴ πάνσεμνε· ὃν δυσώπει ἀπαύστως καλλιμάρτυς, ὑπὲρ τῶν ἀνευφημούντων, τὴν μακαρίαν σου ἄθλησιν·

Στίχ. Ὑπομένων ὑπέμεινα..

Λαμπομένη τῆς πίστεως, τῷ φωτὶ καλλιπάρθενε, ὡς λαμπὰς ἀνέλαμψας βίῳ κρείττονι,καὶ ταῖς ἀκτῖσι τῶν λόγων σου, πολλοὺς κατεφώτισας,καὶ ὡδήγησας Χριστῷ,ὑπὲρ οὗ καὶ ἐνήθλησας ὡς ἀσώματος· ὃν δυσώπει Ἁγνὴ παρθενομάρτυς,ἡμῖν δοῦναι θείαν χάριν, καὶ τῶν πταισμάτων συγχώρησιν·

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν....

Ἐν ἀνδρείῳ φρονήματι,τοῦ πυρὸς τὴν δριμύτητα,οὐδαμῶς ἐπτόησαι καλλιπάρθενε, καὶ ἐν αὐτῷ τὸ μακάριον,καὶ ἅγιον τέλος σου,ὑπεδέξω ἐν χαρᾷ,καὶ Χριστῷ ἀνελήλυθας τῷ νυμφίῳ σου,καὶ συνήφθης

παρθένων καὶ Μαρτύρων,τοῖς χοροῖς Παρθενομάρτυς, ὑπὲρ ἡμῶν ἱκετεύουσα.

Δόξα. Ἦχος πλ.β.'

Ἀθλητικὴν ἐπιδείξασα ἔνστασιν,τυραννικὴν βουλὴν ἐφαύλισας, Ἁγνὴ Μάρτυς ἀήττητε· καὶ τοῦ πυρὸς ἐνεγκοῦσα τὴν κατάφλεξιν, τῆς σῆς ψυχῆς τὴν λαμπρότητα ἔδειξας καὶ τῷ φωτὶ τῆς δόξης Κυρίου, λαμπαδηφόρος ἀνῆλθες. Διὸ τοὺς τελοῦντας τὴν μνήμην σου, πάσης ἀνάγκης λύτρωσαι,καὶ πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος...

Νῦν ἀπολύεις, τὸ τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.

Φερωνύμως ἁγνείας ὤφθης κειμήλιον,καὶ ἀνδρικῶς ἠγωνίσω ὑπὲρ τῆς δόξης Χριστοῦ,καλλιπάρθενε σεμνὴ Ἁγνὴ πανεύφημε· ὡς γὰρ θυσία καθαρά,προσενήνεξαι αὐτῷ, τελέσασα τὸν ἀγῶνα, διὰ πυρὸς Ἀθληφόρε, καὶ τοῦ ἐχθροῦ τὴν πλάνην ἔφλεξας.

Ἕτερον.

Ἦχος δ '. Ταχὺ προκατάλαβε.

Ἀγνείας ταῖς χάρισι, κεκοσμημένη σεμνή, Μαρτύρων ἐν στίγμασι ἐκαλλωπίσθης λαμπρῶς, Ἁγνὴ καλλιπάρθενε· σὺ γὰρ τὸν σὸν νυμφίον, μεγαλύνασα ἄθλοις, ὤφθης τοῦ οὐρανίου, κληρονόμος νυμφῶνος, πρεσβεύουσα ἀπαύστως, ὑπὲρ τῶν τιμώντων σε.

Θεοτοκίον.

Θεοτοκίον. Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον....

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. Στιχολογίαν, Κάθισμα.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὡς Μάρτυς εὐκλεής, καὶ παρθένος φρονίμη, προσήχθης τῷ Χριστῷ, δι' ἀγώνων ἁγίων, δι' ὧν καὶ καταβέβληκας,τοῦ ἐχθροῦ τὴν παράταξιν, Ἁγνὴ πάνσεμνε, καὶ ἐδοξάσθης ἀξίως· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, φαιδρῶς ἑορτάζομεν.

## Θεοτοκίον.

Ὡς τέξασα Χριστόν,τὸ οὐράνιον μύρον, τὴν φύσιν τῶν βροτῶν, εὐωδίασας Κόρη· διὸ σεμναὶ νεάνιδες, τῇ ὀσμῇ τούτου ἔδραμον, Ἀειπάρθενε,μεθ' ὧν Ἁγνὴ ἡ παρθένος, μεγαλύνει σε, ὡς τοῦ Σωτῆρος Μητέρα, καὶ κόσμου βοήθειαν.

## Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.

### Ἦχος α'. Χορὸς Ἀγγελικός.

Τὸ πῦρ τὸ νοητόν, τῆς ἀγάπης τῆς θείας, κατέχουσα Ἁγνή, τοῦ πυρὸς τοῦ ἐνύλου,τὴν καῦσιν ὑπέμεινας, ὥσπερ δρόσον οὐράνιον, καὶ ἀνέδραμες, ἀγαλλομένῃ καρδίᾳ, πρὸς ἀκήρατον,καὶ φωτοφόρον νυμφῶνα, Χριστοῦ τοῦ νυμφίου σου.

Τὸ φῶς τὸ ἐκ φωτός, τὸν Ὑπέρθεον Λόγον, ἐκύησας Ἁγνή, ἐν μορφῇ τῇ βροτείᾳ, θεοῦντα τὸν ἄνθρωπον, δι' ἀμέτρητον ἔλεος, Ἀπειρόγαμε, εὐλογημένη Μαρία, ὃν ἱκέτευε, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων, τὴν ἄφραστον δόξαν σου.

## Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀνδρείως ἠγώνισαι, ὑπερ τῆς δόξης Χριστοῦ,καὶ χαίρουσα ἤνεγκας, τὴν ἐν πυρὶ

τελευτήν, Ἁγνὴ Μάρτυς ἔνδοξε· ὅθεν πρὸς οὐρανίους,μετετέθης θαλάμους, βλέπουσα τοῦ Σωτῆρος,τὸ ἀμήχανον κάλλος, ᾧ πρέσβευε Ἀθληφορε, ὑπὲρ τῶν τιμώντων σε.

Θεοτοκίον.

Ἀφράστως ἐκύησας,τὸν Βασιλέα Χριστόν,καὶ ἄφθορος ἔμεινας, ὡς ἧς πρὸ τόκου Ἁγνή, Παρθένε Πανάμωμε· ὅθεν φθοροποιῶν με,ἐννοιῶν ἀκαθάρτων, κάθαρον Θεοτόκε,τῇ θερμῇ σου πρεσβείᾳ,καὶ ῥῦσαί με Πανύμνητε, χειρῶν τοῦ ἀλάστορος.

Τὸ α' ἀντίφωνον τοῦ δ.' ἤχου καὶ τὸ Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι·

Στίχ: Καὶ ἔστηοεν ἐπὶ πέτραν …

Εὐαγγέλιον τῶν δέκα Παρθένων.

Ζήτει τοῦτο τῷ ιζ' Σαββάτῳ τοῦ Ματθαίου.

Ὁ Ν'. Δόξα. Ταῖς τῆς Ἀθληφόρου….

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου….

## Ἰδιόμελον. Ἦχος πλ.β’.

Στίχ: Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα....

Παρθενικῇ ὡραιότητι ἐμπρέπουσα, μαρτυρικὸν ὑπῆλθες ἀγῶνα, ἐν ἀνδρείᾳ ψυχῆς, Παρθενομάρτυς Ἁγνὴ θεόνυμφε· τῷ τοῦ Χριστοῦ γὰρ πόθῳ, πάντα ὑπερεῖδες, καὶ ποινῶν καὶ πυρὸς ἀνωτέρα ὤφθης, καὶ τοῦ Βελίαρ τὸ θράσος καθεῖλες· οὗ τῆς κακίας καὶ ἡμᾶς ἀπάλλαξον, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου δεόμεθα.

Ὁ Ἱερεὺς: Σῶσον ὁ Θεός...

Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου καὶ τῆς Ἁγίας οὗ ἡ ἀκροστιχίς· « Ἄδω Ἁγνή σοι, Παρθενομάρτυς» Γερασίμου.

## Ὠδὴ α'. Ἦχος δ.' Θαλάσσης τὸ Ἐρυθραῖον.

Ἀκτῖσι,τοῦ Παναγίου Πνεύματος, Ἁγνὴ θεόνυμφε, λαμπρυνομένη αἴτει φωτισμόν,τῇ ζοφώδει καρδίᾳ μου,ὅπως ὑμνήσω πάνσεμνε τοὺς σοὺς Ἀγῶνας τῆς ἀθλήσεως.

Δυνάμει,τῇ θεϊκῇ ἐρρώσθη σου Ἁγνὴ πανεύφημε,τὸ ἀσθενὲς τῆς φύσεως στερρῶς· ὅθεν πᾶσαν κατέβαλες, ἐν τῇ λαμπρᾷ

ἀθλήσει σου τοῦ παναλάστορος τὴν δύναμιν.

Ὡς πλήρης,τῆς θεϊκῆς συνέσεως, Ἁγνὴ θεόσοφε,τῆς εὐσεβείας πᾶσιν ἐφαπλοῖς, διδαχὴν τὴν σωτήριον, καὶ τοῦ Χριστοῦ ἐκήρυξας τὴν ὑπὲρ λόγον συγκατάβασιν.

Θεοτοκίον.

Ἀγγέλων, καὶ τῶν βροτῶν βασίλισσα, πέλεις Πανάμωμε, τὸν βασιλέα τέξασα Χριστόν· διὸ νέκρωσον δέομαι , ζωοποιῷ σου χάριτι, τῆς ἁμαρτίας μου τὴν δύναμιν.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Γενναίως ὑπὲρ Χριστοῦ, ἐν ἀσθενείᾳ τῆς σαρκὸς ἤνεγκας, τήν τοῦ πυρὸς ἔκκαυσιν, ἔνδοξε Ἁγνὴ καλλιπάρθενε.

Ναμάτων ζωοποιῶν,πεπληρωμένη τὴν ψυχὴν πάνσεμνε,ὡς δροσισμὸν ἔφερες, τοῦ πυρὸς Ἁγνὴ τὴν κατάφλεξιν.

Ἠγώνισαι καρτερῶς, θυμὸν τυράννων μηδαμῶς πτήξασα, Μάρτυς Ἁγνὴ Ἔνδοξε, καὶ βραβεῖα νίκης ἀπέλαβες.

## Θεοτοκίον.

Σαρκός μου τὸ ἀσθενές, καὶ τῆς ψυχῆς μου τὴν ἰσχὺν κράτυνον, ὡς ἂν τοῦ ἀλάστορος, Κόρη κατισχύσω ἐν ἅπασι.

## Κάθισμα.

### Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἡ τοῦ Σωτῆρος καλλιπάρθενος νύμφη, ἡ ἐν ἀθλήσει ἀριστεύσασα θείᾳ, Ἁγνὴ ἡ Μάρτυς εὐφημείσθω σήμερον· αὕτη γὰρ τὸν δράκοντα, καθελοῦσα τὸν μέγαν, ὡς θυσία ἄμωμος, προσηνέχθη Κυρίῳ, καὶ ἱκετεύει πάντοτε Χριστόν ἡμῖν δοθῆναι, πταισμάτων συγχώρησιν.

## Θεοτοκίον.

Ἡ τὸν Σωτῆρα τοῦ παντὸς τετοκυῖα, τὸν λυτρωσάμενον ἡμᾶς τῆς κατάρας, θεοκυῆτορ Κόρη Ἀειπάρθενε, ῥῦσαι τῆς μανίας με, τοῦ δεινοῦ πολεμίου, δίδου δέ μοι δύναμιν, κατ 'αὐτοῦ καθ'ἑκάστην, καὶ τοῦ νοός μου δίωξον Ἁγνή, τὴν σκοτομήνην, καὶ σῶσόν με δέομαι.

## Ὠδὴ δ.' Ἐπαρθέντα σε ἰδοῦσα.

Ὁλοτρόπως ἀνανεύουσα τῶν ἐν κόσμῳ,τὴν πρὸς Χριστὸν ἐβάδισας, τρίβον εὐθυπόρως,

ἀθλήσεως σκάμμασιν, Ἁγνὴ καλλιπάρθενε, καὶ ζωῆς τῆς ἄνω τετύχηκας.

Ἰσχὺν θείαν Ἁγνὴ ἄνωθεν δεχομένη, ἁγνή τε καὶ ἀμίαντος, Μάρτυς ἐτηρήθης ἀνόμου βουλεύματος Χριστοῦ τοῦ νυμφίου σου, ἀντιταξαμένη τὴν δύναμιν.

Παρθενίας διαλάμπουσα ταῖς ἀκτῖσι,καὶ ἄγγελον οὐράνιον, φύλακα πλουτοῦσα, Ἁγνὴ διετήρησας,τὸν πλοῦτόν σου ἄσυλον, τὸν τῆς καθαρότητος πάνσεμνε.

Θεοτοκίον.

Ἀπὸ πάσης ἐπηρείας, τοῦ ἀλλοτρίου, ἀπάλλαξόν με Δέσποινα, τῇ σῇ προστασίᾳ καὶ δίδου μοι δέομαι,γνησίαν μετάνοιαν,καὶ ὑπομονὴν καὶ πραότητα.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Ῥώμῃ τῇ θεϊκῇ σεαυτὴν ἐπιρρώσασα, τοῦ δυσμενοῦς τὴν μανίαν, καταβέβληκας Μάρτυς, μαρτυρικῇ ἐνστάσει σου.

Θῦμα πνευματικόν, καὶ θεῖον ὁλοκάρπωμα, διὰ πυρὸς προσηνέχθης, Χριστῷ τῷ ἀθλοθέτῃ, Ἁγνὴ παρθένε πάνσεμνε.

Ἔφριξαν τὴν ἐν σοί, τοῦ Χριστοῦ θείαν δύναμιν, ὅτε εἶδον παρθένε,τὸν νεκρὸν ἀναστάντα, τῇ πρὸς αὐτὸν ἐντεύξει σου.

Θεοτοκίον.

Νέκρωσον τῆς σαρκός, Θεοτόκε τὸ φρόνημα, καὶ τὴν καρδίαν μου πλῆσον, ζωτικῆς ἐπιπνοίας, σεπτῇ ἐπιστασίᾳ σου.

Ὠδὴ στ΄. Θύσω σοι.

Ὅλην σε πρὸς Χριστὸν τεταμένην ὁρῶντές σε, οἱ δυσσεβεῖς Ἀθληφόρε, πλείστας ἐπεκτείναντο τιμωρίας, ἀλλ' οὐδόλως τὴν ψυχήν σου χαυνῶσαι δεδύνηνται.

Μάρτυρα ,τοῦ Σωτῆρος καὶ νύμφην περίδοξον, Παρθενομάρτυς θεόφρον, ἡ σὴ ἀπειργάσατο πολιτεία, ὦ Ἁγνή σε· διὰ τοῦτο συμφώνως τιμῶμέν σε.

Ἅπασαν, τὴν ἐν κόσμῳ τιμὴν καὶ λαμπρότητα, καταλιποῦσα παρθένε, τῷ Χριστῷ προσῆλθες λαμπαδηφόρος, ἐν ἀγῶσιν ἀθλητικοῖς Ἁγνὴ ἀριστεύσασα.

Θεοτοκίον.

Ῥῦσαί με, τῆς τοῦ ἐχθροῦ Παρθένε κακότητος, καὶ τῶν παθῶν μου τὸν σάλον,

παῦσον Θεοτόκε τῇ σῇ γαλήνη, μετανοίας, ἀσφαλῆ με πρὸς ὅρμον ἰθύνουσα.

Κοντάκιον. Ἦχος γ.' Ἡ Παρθένος σήμερον.

Παρθενίας λάμπουσα μαρμαρυγαῖς ἀκηράτοις,μαρτυρίου ἤνυσας, περιφανῶς τοὺς ἀγῶνας· πίστει γάρ, καὶ θείῳ ἔρωτι φλεγομένη, ἤνεγκας πυρὸς τὴν καῦσιν ἀνδρειοφρόνως, καὶ πρὸς φῶς τῆς ἄνω δόξης, Ἁγνὴ θέοφρον χαίρουσα ἔδραμες.

Ὁ Οἶκος.

Φιλεόρτων χορεῖαι τιμήσωμεν, τῆς ἁγνείας τὸ ἄνθος τὸ εὔοσμον, τὴν Ἁγνὴν φερωνύμως καὶ ἄμεμπτον, ὡς Χριστοῦ τετρωμένην τῷ ἔρωτι· τούτῳ γὰρ ἐν πίστει θερμῇ μνηστευθεῖσα, κοσμικῆς περιφανείας πᾶσαν σχέσιν κατέλιπε, καὶ μαρτυρίου τὸ στάδιον, ἀνδρειοφρόνως ἤνυσε,γυναικείαν παριδοῦσα ἀσθένειαν· καὶ ἐν ποιναῖς δοκιμασθεῖσα, διὰ πυρὸς Χριστῷ προσενήνεκται, καὶ πρὸς τὸ φῶς τῆς ἄνω δόζης χαίρουσα ἔδραμε.

Συναξάριον.

Τῇ ΚΑ΄. τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ἁγίας Παρθενομόρτυρος Ἁγνῆς.

Στίχ. Ὑπὲρ νέον σοὶ μόσχον, ὡς Δαβὶδ λέγει· Ἤρεσκεν Ἁγνὴ πυρπολουμένη Λόγε.

Εἰκάδι πρώτῃ Ἁγνὴν φλεγέθουσι πυρὶ μαλερῷ.

( Τὸ Συναξαριακὸν ὑπόμνημα βλέπε ἐν τῷ Μηναίῳ)

Ταῖς αὐτῆς πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ.' Ἐν τῇ καμίνῳ

Τοῦ σοῦ νυμφίου,κατατρυφῶσα τῇ λαμπρότητι,πρέσβευε ἀπαύστως Ἁγνὴ ὑπὲρ ἡμῶν,τῶν βοώντων μετὰ πίστεως· Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε·

Ὕλην τὴν κάτω,νοῒ τελείῳ καταλέλοιπας, καὶ πρὸς τὰς ἀΰλους ἤρθης Ἁγνὴ μονάς, ἐναθλήσασα καὶ ψάλλουσα· Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Σῶμά σου Μάρτυς, πυρὶ ῥιφὲν ἐχθρὸν κατέφλεξε, πνεῦμα δὲ τὸ ἁγνόν σου ἄνω ἀνελθόν,τῷ Σωτῆρι ψάλλει πάντοτε· Εὐλογημένος εἶ,ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

## Θεοτοκίον.

Γέγονας Κόρη,τοῦ βασιλέως Χριστοῦ σκήνωμα,τοῦτον ἂν γαστρί σου χωρήσασα ἀληθῶς τὸν ἀχωρητον δι' ἔλεος· ὅθεν σε πάντες, δοξολογοῦμεν Ἄχραντε Δέσποινα.

## Ὠδὴ η'. Χεῖρας ἐκπετάσας.

Ἔλαμψας φωτὶ τῶν ἀρετῶν, Ἁγνὴ πανεύφημε,καὶ τῆς ἀθλήσεως, τὸν ἱερὸν δρόμον ἔδραμες, καὶ τὸν ὄφιν κατεπάτησας, καί πρὸς νυμφῶνα νοητὸν, εἰσῆλθες κράζουσα· Εὐλογεῖτε,πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥῦσαι πολυτρόπων πειρασμῶν, καὶ περιστάσεων, Ἁγνὴ πανθαύμαστε,ταῖς σαῖς πρεσβείαις πρὸς Κύριον,τοὺς πιστῶς σε μακαρίζοντας, καὶ τὴν σὴν μνήμην ἐν χαρᾷ τελοῦντας πάντοτε,καὶ βοῶντας· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἄνθος παρθενίας μυστικόν, ἐν Ῥώμῃ ἤνθησας, Ἁγνὴ θεόνυμφε, καὶ εὐωδίασας ἅπαντας, ταῖς ὀσμαῖς τῆς σῆς ἀθλήσεως, τοὺς εὐφημοῦντάς σε πιστῶς,καὶ ἀνακράζοντας· Εὐλογεῖτε,πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

## Θεοτοκίον.

Σάρκα ἐξ αἱμάτων σου ἁγνῶν, ὁ ἐνυπόστατος Λόγος καὶ Κύριος, ἀναλλοιώτως προσείληφε, Θεοτόκε Ἀειπάρθενε,καὶ ἐλυτρώσατο φθορᾶς,τοὺς πίστει κράζοντας· Εὐλογεῖτε,πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

## Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Ἴσχυσας ῥοπῇ οὐρανίῳ, καταβαλεῖν Παρθενομάρτυς, πᾶσαν τὴν ἰσχὺν τοῦ δολίου,καὶ διανῦσαι δρόμον τὸν κάλλιστον· διὸ Χριστὸς ὁ Κύριος, Ἁγνή, ἀξίως σε ἐδόξασε.

Μύρον ὡς εὐῶδες προσήχθης, καὶ ὁλοκαύτωμα Κυρίῳ,οἷα καθαρὰ καὶ παρθένος,τῇ σῇ ἀθλήσει Ἁγνὴ πανένδοξε· διὸ τῆς ὑπὲρ ἔννοιαν, κατηξιώθης ὡραιότητος·

Οἱ τὴν σὴν γεραίροντες μνήμην, Ἁγνὴ παρθένε Ἀθληφορε,τύχοιμεν τῆς σῆς προστασίας, καὶ πάσης θλίψεως λυτρωθείημεν, καὶ τῶν πταισμάτων ἄφεσιν τῇ σῇ πρεσβείᾳ Μάρτυς λάβοιμεν.

## Θεοτοκίον.

Ὕψωσον τὸν νοῦν μου Παρθένε, χαμαιπετοῦς ἀπὸ κυβείας, πρὸς τὴν τοὺ

Υἱοῦ σου ἀγάπην, τῆς μετανοίας γνησίαις πράξεσι,καὶ πονηρᾶς με ἕξεως, ῥῦσαι καὶ σῶσόν με τὸν δοῦλόν σου.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Παρθενικῶς τὸν βίον διατελοῦσα εὐσεβῶς,μαρτυρικῶς προσήχθης, διά πυρὸς Μάρτυς Ἁγνή, τῷ Παντοκράτορι Λόγῳ, ὡς νύμφη ἠγλαϊσμένη.

Θεοτοκίον.

Θεὸν ἀφράστως τεκοῦσα,ὑπερφυῶς μετὰ σαρκός, Θεοκυῆτορ Παρθένε, κόσμον ἐρρύσω τῆς φθορᾶς· διό σε ἀνευφημοῦμεν, ὡς σωτηρίας αἰτίαν.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄ Τῶν οὐρανίων ταγμάτων.

Τῆς εὐσεβείας τὰ ἄνθη τὰ εὐωδέστατα, Ἁγνὴ Παρθενομάρτυς, νοητῶς γεωργοῦσα,διέπνευσας τῷ κόσμῳ μαρτυρικήν,εὐωδίαν θεόπνευστε, καὶ κατευφραίνεις καρδίας τῶν εὐσεβῶν,τῇ ὀσμῇ τῶν χαρισμάτων σου.

Καθάπερ μύρον εὐῶδες τῷ σῷ νυμφίῳ Χριστῷ, προσήγαγες τὰς πράξεις,τοῦ ἀμέμπτου σου βίου,καὶ ἤθλησας νομίμως ὑπὲρ αὐτοῦ, τὸν ἐχθρὸν θριαμβεύσασα· διὸ ἀξίως ἐδέξω Μάρτυς Ἁγνή,τὸ βραβεῖον τῆς ἀθλήσεως.

Ἀκαταπλήκτῳ καρδίᾳ Ἁγνὴ ὑπέμεινας, ὑπὲρ τοῦ σοῦ νυμφίου, τὴν κατάφλεξιν Μάρτυς, καὶ χαίρουσα ἀνέδραμες πρὸς αὐτόν, τὸν ἀγῶνα τελέσασα· ὅθεν δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν τιμώντων σου τὴν ἄθλησιν.

Λαμπαδηφόρος ἀνῆλθες πρὸς τὸν νυμφῶνα Χριστοῦ, τελέσασα τὸν δρόμον, τῆς ἀθλήσεως Μάρτυς· καὶ νῦν τῶν ὑπὲρ λόγον θεωριῶν, ἀπολαύουσα πάνσεμνε, διὰ παντὸς ἐκδυσώπει ὑπὲρ ἡμῶν, τῶν τιμώντων σου τὴν ἄθλησιν.

Δόξα. Ἦχος πλ.α '

Ἀθλητικῇ ἐνστάσει, Χριστοῦ δοξάσασα τὸ ὄνομα, ἀπτοήτῳ γνώμῃ ὑπῆλθες, πῦρ τὸ παμφάγον, Παρθενομάρτυς ἀήττητε· τῆς ἀΰλου γὰρ φλογός, τὴν ἐνέργειαν ἔχουσα, τὴν ἐν σοὶ κεκρυμμένην λαμπρότητα, πᾶσιν ἔδειξας· καὶ ὡς ὁλοκαύτωμα ἔμψυχον,προσενεχθεῖσα Χριστῷ,μυρίων ἀγαθῶν ἠξίωσαι,Ἁγνὴ καλλιπάρθενε· διὸ δυσωποῦμέν σε· Μὴ

διαλίπῃς πρεσβεύουσα, εὑρεῖν ἡμᾶς ἔλεος, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καὶ νῦν.Θεοτοκίον. Μακαρίζομέν σε Θεοτόκε....

ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ ΚΑΙ ΑΠΟΛΥΣΙΣ.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ συνήθη. Ἀπόστολον καὶ Εὐαγγέλιον τῆς Ἁγίας Μαρίνης, ιζ.' Ἰουλίου.

Κοινωνικόν. Εἰς μνημόσυνον....

Μεγαλυνάριον.

Χαίροις τῆς ἁγνείας ἄνθος τερπνόν, Ἁγνὴ Ἀθληφόρε,νύμφη ἄμωμε του Χριστοῦ· χαίροις ἡ ὡς θῦμα, Κυρίῳ προσαχθεῖσα,διὰ πυρὸς τελέσασα,τὸν ἀγῶνά σου.

Δίστιχον.

Ἁγνόν με συντήρησον Παρθενομάρτυς

Γεράσιμον μέλψαντα τὴν ἄθλησίν σου.